## LXXI

ἆ δείλ᾽ Ἀντίκλεις, δειλὴ δ᾽ ἐγὼ ἡ τὸν ἐν ἥβης
  ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
ὀκτωκαιδεκέτης ὃς ἀπώλεο, τέκνον· ἐγὼ δέ
  ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη.
βαίην εἰς Ἀίδος σκιερὸν δόμον· οὔτε μοι ἠώς
  ἡδεῖ᾽ οὔτ᾽ ἀκτὶς ὠκέος ἠελίου.
ἆ δείλ᾽ Ἀντίκλεις μεμορημένε, πένθεος εἴης
  ἰητήρ, ζωῆς ἔκ με κομισσάμενος.

## LXXII

ἑσπέριον κἠῷον ἀπώσατο πολλάκις ὕπνον
  ἡ γρηὺς πενίην Πλατθὶς ἀμυνομένη,
καί τι πρὸς ἠλακάτην καὶ τὸν συνέριθον ἄτρακτον
  ἤεισεν, πολιοῦ γήραος ἀγχίθυρος,
καί τι παριστίδιος δινευμένη ἄχρις ἐπ᾽ ἠούς
  κεῖνον Ἀθηναίης σὺν Χάρισιν δόλιχον,
ἢ ῥικνὴ ῥικνοῦ περὶ γούνατος ἄρκιον ἱστῷ
  χειρὶ στρογγύλλουσ᾽ ἡ μορόεσσα κρόκην·
ὀγδωκονταέτις δ᾽ Ἀχερούσιον ηὔγασεν ὕδωρ
  ἡ καλὰ καὶ καλῶς Πλατθὶς ὑφηναμένη.

## LXXIII

τίς ποτ᾽ ἄρ᾽ εἶ; τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτα
  τλῆμον᾽ ἐν ἡμιφανεῖ λάρνακι γυμνὰ μένει;